λόγον φλύαρον εἰπόντος ὅτι ‘βέλτιστοι γιγνόμεθα πρὸς τοὺς
θεοὺς βαδίζοντες’· τότε γὰρ ἀθλιώτατα καὶ κάκιστα πράττουσιν
οἱ δεισιδαίμονες, ὥσπερ ἄρκτων φωλεοῖς ἢ χειαῖς δρακόντων ἢ
μυχοῖς κητῶν τοῖς τῶν θεῶν μεγάροις ἢ ἀνακτόροις προσιόντες.
**(10.)** ὅθεν ἔμοιγε καὶ θαυμάζειν ἔπεισι τοὺς τὴν ἀθεότητα
φάσκοντας ἀσέβειαν εἶναι, μὴ φάσκοντας δὲ τὴν δεισιδαιμο-
νίαν. καίτοι γ᾽ Ἀναξαγόρας (A 1. 2. 72) δίκην ἔφυγεν ἀσε-
βείας ἐπὶ τῷ μύδρον εἰπεῖν τὸν ἥλιον, Κιμμερίους δ᾽ οὐδεὶς
F εἶπεν ἀσεβεῖς, ὅτι τὸν ἥλιον οὐδ᾽ εἶναι τὸ παράπαν νομίζουσι.
τί σὺ λέγεις; ὁ μὴ νομίζων θεοὺς [εἶναι] ἀνόσιός ἐστιν, ὁ δὲ
τοιούτους νομίζων οἵους οἱ δεισιδαίμονες οὐ μακρῷ δόξαις
ἀνοσιωτέραις σύνεστιν; ἐγὼ γοῦν ἂν ἐθέλοιμι μᾶλλον τοὺς ἀν-
θρώπους λέγειν περὶ ἐμοῦ μήτε γεγονέναι τὸ παράπαν μήτ᾽
170 εἶναι Πλούταρχον ἢ λέγειν | ὅτι ‘Πλούταρχός ἐστιν ἄνθρωπος
ἀβέβαιος εὐμετάβολος, εὐχερὴς πρὸς ὀργήν, ἐπὶ τοῖς τυχοῦσι
τιμωρητικός, μικρόλυπος· ἂν καλῶν ἐπὶ δεῖπνον ἑτέρους παρα-
λίπῃς ἐκεῖνον, ἂν ἀσχολίας σοι γενομένης ἐπὶ θύρας μὴ ἔλθῃς
ἢ μὴ προσείπῃς, διέδεταί σου τὸ σῶμα προσφὺς ἢ συλλαβὼν
ἀποτυμπανιεῖ τὸ παιδίον, ἢ θηρίον ἔχων τοῖς καρποῖς ἐφήσει
καὶ λυμανεῖται τὴν ὀπώραν.’

Τοῦ Τιμοθέου τὴν Ἄρτεμιν ᾄδοντος ἐν Ἀθήναις καὶ λέγον-
τος (fr. 3) ‘θυιάδα φοιβάδα μαινάδα λυσσάδα’ Κινησίας ὁ
μελοποιὸς ἐκ τῶν θεατῶν ἀναστάς ‘τοιαύτη σοι’ εἶπε ‘θυγά-
B τηρ γένοιτο’. καὶ μὴν ὅμοια τούτοις καὶ χείρω περὶ Ἀρτέμι-
δος οἱ δεισιδαίμονες ὑπολαμβάνουσιν ‘αἴτε κἂν ἀπ᾽ ἀγχόνας